**δακτυλικὸν δίμετρον ἀκατάληκτον /**
**dactylicum dimetrum acatalectum, dactylicus dimeter**

**1.** Arist. Qvint. *de mus.* I 24 (p. 47. 3 sqq. Winnington-Ingram) εἴπωμεν δὴ βραχέα περὶ ἑκάστου (*scil.* μέτρου) ποιησάμενοι τὴν ἀρχὴν ἀπὸ τοῦ δακτυλικοῦ … ἄρχεται δὲ ἀπὸ διμέτρου καὶ πρόεισιν ἕως ἑξαμέτρου, ὁτὲ μὲν ἀκατάληκτον, ὁτὲ δὲ καταληκτικόν, ἡνίκα καὶ τοῦ τροχαίου κατὰ τέλος δεκτικὸν γινόμενον ἰδίως ἡρῷον καλεῖται.

Arist. Qvint. *de mus.* I 24 (p. 47. 26 sqq. Winnington-Ingram) τοῦ δὲ γενικοῦ δακτυλικοῦ πεποιήκασιν οἱ μὲν ταῦτα εἴδη· δίμετρον τρίμετρον τετράμετρον πεντάμετρον· βαίνουσι δέ τινες αὐτὸ καὶ κατὰ συζυγίαν ποιοῦντες τετράμετρα καταληκτικά· τινὲς δὲ κἂν ταῖς πρώταις χώραις μόναις ἀμείβοντες τὸν δάκτυλον καὶ τοὺς ἀνισοχρόνους αὐτῷ τῶν δισυλλάβων τιθέντες ποιοῦσι τὰ καλούμενα λογαοιδικά.

Trich. 375. 6 sqq. ὑφίστησι δὲ τὸ δακτυλικὸν μέτρον κατὰ ἀφαίρεσιν <καὶ πρόσθεσιν> μόνα δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα καὶ πεντάμετρα καὶ ἑξάμετρα, καταληκτικὰ εἰς συλλαβὴν καὶ εἰς δισύλλαβον καὶ ἀκατάληκτα. ὑπερκατάληκτα γὰρ ἢ βραχυκατάληκτα μέτρα οὐκ ἔχει ὅλως τὸ παρὸν μέτρον, καθὰ τὸ ἰαμβικὸν καὶ τροχαικόν· ἐπεὶ μηδὲ ἐγχωρεῖ ὅλως.

Schol. B in Hephaest. 272. 2 sqq. περὶ δακτυλικοῦ. τὸ τοίνυν δακτυλικὸν βαίνεται μὲν κατὰ μονοποδίαν, αὔξεται δὲ μέχρι ποδῶν ἕξ. ἔχει δὲ διαφορὰς τρεῖς· τὸ μὲν γὰρ αὐτοῦ ἐστι κοινὸν δακτυλικόν, τὸ δὲ αἰολικόν, τὸ δὲ λογαοιδικόν. τὸ μὲν οὖν κοινὸν κατὰ πάσας τὰς χώρας δέχεται ἀδιαφόρως δάκτυλον καὶ σπονδεῖον. ὑφίσταται δὲ κατὰ ἀφαίρεσίν <τε καὶ πρόσθεσιν> δίμετρά τε καί τρίμετρα καὶ ἔτι τετράμετρα καὶ πεντάμετρα καὶ ἑξάμετρα. μονόμετρα γὰρ οὐκ ἔχει τὸ δακτυλικὸν τῷ μὴ βαίνεσθαι κατὰ διποδίαν· συνέμπτωσιν γὰρ ἐποίει ἂν τῶν τοιούτων μέτρων πρός τε τὰ ἰαμβικὰ καὶ τροχαικά.

[Victorin.] GL VI 209. 5 sqq. = Avdax GL VII 336. 23 sqq. quae sunt ergo quinque genera versuum in dactylico metro? hexameter, pentameter, tetrameter, trimeter, dimeter.

Aldhelm. 82. 13 sqq. superius dixisti V genera versuum esse in dactilico metro (exametro *codd., corr. M. Elice, «RPL» 2004, p. 152*) quae sint, nominatim dicito. exameter, pentameter, tetrameter, trimeter, dimeter.

Crvind. 28. 25 sqq. quot sunt genera versuum in dactylico metro? quinque. quae? hexameter, pentameter, tetrameter, trimeter, dimeter, sed licet a versificis tetrametris, trimetris, dimetris versibus carmina invenimus conposita, hexametro tamen et pentametro cum catalectico, ut praediximus modo, metrici maxime uti solent.

– ⏕ – ⏕

**2.** Trich. 375. 32 sq. ἀκατάληκτον δέ (*scil.* δακτυλικὸν δίμετρον), ὡς τοῦτο·

ἐκ καθαρῶν τέκες.

Tzetz. *de metr. Pind.* 70. 13 sqq.
Τὸ δέκατον δακτυλικὸν ἀλλ᾽ ἀκατάληκτόν τε
καὶ δίμετρον· σπονδεῖος δὲ ῥυθμίζεται ὁ πρῶτος.
σπονδεῖος δάκτυλος
– – – ◡◡.

Schol. vet. in Pind. *Nem.* 2 (p. 22. 14 Tessier) τὸ δ΄ δίμετρον δακτυλικόν.

Schol. vet. in Pind. *Ol.* 5 (p. 5. 16 sq. Tessier) τὸ ι΄ δακτυλικὸν δίμετρον ἀκατάληκτον.

Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 10 sqq. Abel) τὸ ϛ΄ ἑξασύλλαβον, δακτυλικὴ διποδία ἤτοι δακτυλικὸν δίμετρον. ὡς δ᾽ ἐμοὶ δοκεῖ παιωνικόν ἐστι κρητικὸν λεγόμενον δίμετρον ἀκατάληκτον ἐκ β΄ κρητικῶν.

Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 19 sqq. Abel) τὸ θ΄ ἀσυνάρτητον ἐκ δακτυλικῆς διποδίας ἤτοι διμέτρου ἀκαταλήκτου καὶ τροχαικοῦ πενθημιμεροῦς.

Schol. rec. in Pind. *Pyth.* 2 (p. 167. 11 sq. Irigoin) τὸ ε΄ δακτυλικὸν δίμετρον, ἤτοι δύο δάκτυλοι.

Schol. in Aesch. *Pers.* 657 (p. 56. 23 sq. Massa Positano) τὸ γ΄ χοριαμβικὸν ἡμιόλιον καθαρὸν ἢ δακτυλικὸν δίμετρον.

Schol. in Aesch. *sept.* 966-974b (II 2, p. 394. 1 sqq. Smith) τὸ ϛ΄ καὶ ζ΄ χοριαμβικὰ ἡμιόλια ἐκ χοριάμβου καὶ πυρριχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον· εἰ δὲ βούλει, δακτυλικὰ δίμετρα καθαρά.

Schol. in Aristoph. *av.* 895a. 2 sq. (p. 142 Holwerda) Tr τὸ γ΄ δακτυλικὸν δίμετρον τοῦ β΄ ποδὸς προκελευσματικοῦ τετραβράχεος.

Schol. rec. in Aristoph. *nub.* 275b. α 6 sqq. (p. 48 Koster) Tr[1] τὸ ϛʹ (v. 280) ‘δενδροκόμους ἵνα’ δακτυλικὸν δίμετρον … τὸ ιαʹ (v. 285) ‘ὄμμα γὰρ αἰθέρος’ δακτυλικὸν δίμετρον.

Schol. rec. in Aristoph. *nub.* 275c. 1 sqq. (p. 48 Koster) Tr[2] ἀέναοι Νεφέλαι] ἡ ἐπεισόδιος αὕτη στροφὴ καὶ ᾠδὴ τοῦ χοροῦ κώλων ἐστὶ ιϛʹ … (p. 49 Koster) τὸ ϛʹ δίμετρον (*scil.* δακτυλικόν) ἀκατάληκτον.

Schol. rec. in Aristoph. *nub.* 457a. 21 sq. (p. 74 Koster) Tr[1] τὸ ιθʹ (v. 474) ‘ἄξια σῇ φρενὶ’ δακτυλικὸν δίμετρον ἀκατάληκτον.

Schol. rec. in Aristoph. *nub.* 1154a. 14 sqq. (p. 162 Koster) Tr[1] τὸ ια΄ (v. 1163) ‘ὃν κάλεσον τρέχων’ χοριαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ χοριάμβου καὶ ἰάμβου· τὸ ιβʹ (v. 1164) ‘ἔνδοθεν ὡς ἐμέ’ ὅμοιον· εἰ δὲ βούλει, δακτυλικὸν δίμετρον ἀκατάληκτον.

Schol. rec. in Aristoph. *nub.* 1154b. 10 sq. (p. 163 Koster) Tr[2] τὸ ιαʹ δίμετρον (*scil.* χοριαμβικόν) βραχυκατάληκτον· τὸ ιβʹ ὅμοιον· εἰ δὲ βούλει, δακτυλικὸν δίμετρον … τὸ ιδʹ χοριαμβικὸν μονόμετρον ἀντὶ χοριάμβου δισπόνδειον ἔχον· εἰ δὲ βούλει, δακτυλικὸν ὅμοιον τῷ ιβʹ.

Schol. Ald. in Aristoph. *nub.* 1154 (p. 278. 15 sq. Koster) τὸ ιζ΄ δακτυλικὸν δίμετρον ἀκατάληκτον.

Schol. rec. in Aristoph. *nub.* 1303b. 9 sq. (p. 180 Koster) Tr[2] τὸ ιγʹ χοριαμβικὸν πενθημιμερές· εἰ δὲ βούλει, δακτυλικὸν δίμετρον.

Schol. in Aristoph. *pac.* 775e. α 23 sq. (p. 121 sq. Holwerda) Tr τὸ ιη´ δακτυλικὸν δίμετρον.

Schol. in Aristoph. *pac.* 775e. β 15 sq. (p. 121 Holwerda) Tr τὸ ιη´ δακτυλικὸν δίμετρον.

Schol. rec. in Aristoph. *ran.* 208 (p. 39. 22 sqq. Chantry) ὠόπ, ὄπ᾽ ὠόπ, ὄπ] εἴσθεσις μέλους χοροῦ μονοστροφικοῦ, ἧς προτίθεται τὸ τοιοῦτον κῶλον (v. 208), δακτυλικὸν ὂν δίμετρον ἀκατάληκτον. κατὰ γὰρ μονοποδίαν μετρεῖται, ὡς εἴρηται, τὰ δακτυλικά.

Schol. vet. in Theocr. *Anth. Pal.* XV 21 arg. c (p. 336. 15 sqq. Wendel) τὸ ἐπιγραμμάτιον ἡ Σῦριγξ τοῦ Θεοκρίτου συνέστηκεν ἐκ μέτρων ὅλων μὲν δακτυλικῶν, ποσότητι δὲ διαφερόντων ... (p. 337. 3 sq.) τὸ ἔννατον δίμετρον ἀκατάληκτον.

Schol. B in Hephaest. 272. 17 sq. καὶ δίμετρον μὲν (*scil.* δακτυλικόν) ἀκατάληκτον τό· ([Hom.] *Il.* I 18)

ὑμῖν μὲν θεοί.

Sacerd. GL VI 502. 6 sqq. dactylicum metrum omnibus et simplicius et antiquius est, quod dividitur in species XVII … 12 sq. dimetras tres, adoniam, hymenaicam, penthemimericam, sed simplicem.

Apthon. GL VI 106. 5 sqq. item dimetrum … fit … acatalectum autem, si duo dactyli copulentur, ut est φεύγετε φεύγετε … 20 sqq. proponamus itaque canonem dactylici in exemplum reliquorum septem metrorum, qui est, ut ceteri, aeque octo differentiarum ita: nam aut dactylicum monometrum brachycatalectum dactylico monometro brachycatalecto copulatur aut idem brachycatalectum catalectico aut acatalecto aut hypercatalecto, et rursus idem brachycatalectum dactylicum dimetro brachycatalecto aut dimetro catalectico aut dimetro acatalecto aut dimetro hypercatalecto sociatur, quae sunt commutationes octo canonis unius. igitur eo pacto, quo monometrum brachycatalectum percurrens octo canonas, ut ostendimus, fecit differentias LXIIII, ita et monometrum dactylicum catalecticum et acatalectum et hypercatalectum: cum suum ceterosque canonas tam per monometrum quam per dimetrum singula metra percucurrerunt, procul dubio octies sexagenae quaternae differentiae colliguntur. ex quibus efficitur numerus differentiarum in una quaque metri specie quingentarum XII.

Diom. GL I 515. 27 sqq. dimetrum quoque quod est ex superiore parte hexametri Archilochus una syllaba auxit et fecit tale:

vult tibi † Timocles †.

hoc tale est quale in Horatio: (*carm.* IV 7. 2)

arboribusque comae

et illud: (Verg. *Aen.* I 1)

arma virumque cano.

denique detrahe ultimam syllabam, et erunt duo pedes qui priorem hexametri habent partem.

Diom. GL I 520. 28 sqq. nona ode metrum alcaicum habet et scanditur per quaternos versus. nam duos catalecticos, tertium hypercataectum *** habet. catalectici scanduntur sic, hippius tertius, ionicus ἀπὸ μείζονος, <dactylus: (Hor. *carm.* I 9. 1)

vides ut al,ta stet nive, candidum.

tertius sic, duo hippii tertii> et semipes: (Hor. *carm.* I 9. 3)

silvae labo,rantes gelu,que.

quartus sic, choriambus, paeon tertius, <spondeus>: (Hor. *carm.* I 9. 4)

flumina con,stiterint a,cuto.

hoc metrum ab Horatio conpositum alio genere scanditur, quod constat ex tribus alcaicis. primus et secundus versus ex penthemimere constat iambico et duobus dactylis, tertius ex epitritis tertiis duobus et syllaba, quartus ex dimetro heroo et dimetro trochaico.

Serv. GL IV 460. 16 sq. de hymenaico. hymenaicum constat dimetro (*scil.* dactylico) acatalecto, ut est hoc:

tibia personet.

Fragm. Bob. GL VI 623. 8 dimetrum (*scil.* dactylicum) acatalectum, quod hymenaicum appellatur.

– ◡ ◡ – –

**3.** Arist. Qvint. *de mus.* I 28 (p. 51. 19 sqq. Winnington-Ingram) μέσα δὲ καλεῖται μέτρα, ὅτε δύο ποδῶν ἀντιθέτων εἷς μεταξὺ πίπτων, οἰκειότητα πρὸς ἀμφοτέρους ἔχων, δυσδιάκριτον ποιεῖ τὴν βάσιν· οἷον <εἰ> ἐκκειμένου μὲν ἑνὸς δακτύλου, διμέτρου δὲ ἀναπαιστικοῦ κατὰ μέσον πέσοι σπονδεῖος, ἄδηλον πότερα δύο φήσομεν εἶναι μέτρα, τὸ μὲν δακτυλικόν, τὸ δ᾽ ἀναπαιστικόν, ἄμφω δίμετρα, ἢ τὸ σύμπαν τετράμετρον ἀναπαιστικόν· καὶ ἐπ᾽ ἄλλων δὲ μέτρων ταὐτὸν θεωρεῖται.

Schol. Byz. in Soph. *Oed. tyr.* 151 (p. 269. 16 sqq. Longo) τὸ ε´ χοριαμβικὸν μονόμετρον ὑπερκατάληκτον ἐκ χοριάμβου καὶ συλλαβῆς· τοῦτο δὲ καὶ δακτυλικὸν ἂν εἴη δίμετρον ... (p. 270. 2) τὸ ιε´ ὅμοιον τῷ ε´.

Sacerd. GL VI 502. 6 sqq. dactylicum metrum omnibus et simplicius et antiquius est, quod dividitur in species XVII … 12 sq. dimetras tres, adoniam, hymenaicam, penthemimericam, sed simplicem.

Apthon. GL VI 73. 3 sqq. incipit autem et adcrescit per augmenta syllabarum dactylicum metrum a dimetro usque ad hexametrum. erit ergo versus dimetrus catalecticus, qui duobus suis dumtaxat pedibus subsistit, tamquam: (Hor. *carm.* I 2. 4)

terruit urbem,

qui concurrit etiam in choriambicum monometrum hypercatalectum, quod adonidium appellatur.

Apthon. GL VI 114. 10 sqq. sed ut ad propositum versus hexametri ordinem redeam, decurso pentametro heroo consequens est tetrametrum eius inducere, quem Archilochus divulsum ab hexametro heroo ad epodum convertens satis acceptam auribus rem commentus est. ergo tetrameter sive versus

sive hexametri heroi tome tertia - nam post duas incisiones eius proprias, id est penthemimeren et hephthemimeren, tertia est ea quam βουκολικήν appellant, quae quarto pede semper sensum claudente distinguitur ideoque a Graecis sic appellatur, quod bucolici carminis haec lex sit, ut versus eius ea observatione formetur, ut ante duos ultimos quarto pede terminet aut partem orationis aut sensum, quam legem per omne opus sui carminis Theocritus Syracusanus exceptis tribus aut quattuor ferme versibus, e quibus sunt: (1. 28)

ἀμφῶες νεοτεύχες ἔτι γλυφάνοιο ποτοσδόν

et: (1. 39)

τοῖς δὲ μετὰ γριπεύς τε γέρων πέτρα τε τέτυκται,

custodit; at noster Maro haud ita, quod utrum scrupulosum an supervacuum duxerit, ipse norit. quod Graeci sanxerunt, ne pars orationis aut sermo integer ullo verbi discidio interveniente seiungeretur, tamquam: (Verg. *buc.* 7. 1)

forte sub arguta consederat

tetrametrus; sequitur:

ilice Daphnis:

hoc comma dimetrum epicum nuncuparunt. item: (Verg. *buc.* 2. 6)

o crudelis Alexi nihil mea,

dehinc:

carmina curas.

unde intellegi datur bucolicum carmen seu metrum ex tetrametri <et dimetri> versus copulatione subsistere.

Apthon. GL VI 116. 2 sqq. rursum *** adoni>dius, quod metrum vocatur δίμοιρον ἐπικόν eo quod duos pedes heroos tantum recipiat, dactylum <et> spondeum. ex his igitur colis seu dimetris Sappho (cf. fr. 158 Voigt) dicitur carmen composuisse continuum pentasyllabum. huius exemplum: (Verg. *Aen.* I 1)

primus ab oris:

(Verg. *Aen.* VI 451, VIII 530)

Troius heros:
perdita flammis
Pergama linquens

(Verg. *Aen.* III 11)

exul in altum
vela resolvit.

qui dimetri etiam inter epodos recipiuntur, ut apud Horatium in secunda ode, cuius initium est: (*carm.* I 2. 1)

iam satis terris nivis atque dirae,

ultima coli clausula: (*carm.* I 2. 4)

terruit urbem.

vides subiectum dimetrum metro sapphico hendecasyllabo et per ordinem eiusdem asmatis similes clausulas haberi.

Apthon. GL VI 120. 5 sqq. memini de dimetro (*scil.* dactylico) nos superius sub occasione tetrametri [metri] pleraque dixisse (p. 116. 2 sqq.), quem veluti naturaliter epodis aptum <dicunt,> etiamsi Sappho (cf. fr. 158 Voigt) carmen

ex eo continuum induxerit, quod appellatur δίμοιρον ἐπικόν, idem et pentasyllabum, quia frequenter inventus cum aliis sui generis <in> epodis habebitur. nihil enim de eo <amplius> quam dictum est maiores tradiderunt. unde nunc ad ea, quae de hexametro pari ratione propagata sunt, revertemur … heroi versus primam incisionem, quam penthemimeren tomen vocant, in qua prior sit spondeus, secundus dactylus, dehinc syllaba, si duobus pedibus integri dumtaxat sensus revulsis ex cuiuslibet fine versus hexametri conectas, propagabis versum hendecasyllabum formae alterius, quam est ille, qui subnexo phalaecio figuratur. hoc frequenter usa est Sappho, qui ita copulatur: (Verg. *Aen.* VI 1)

> sic fatur lacrimans,

ex alio: (cf. Verg. *Aen.* VI 2)

> labitur oris:

item: (cf. Verg. *Aen.* III 1 et 4)

> postquam res Asiae, quaerere terras.

nam semipedi, qui superest in penthemimere, sequentis dimetri prima syllaba adnexa spondeum medium dabit; quartus pyrrichius erit, ultimus, ut fors tulerit, aut trochaeus aut spondeus reperietur. quod genus metri ex uno versu formari poterit, illo dumtaxat, cui primus spondeus, ut supra scriptum est, sequens sit dactylus, demptis mediis tribus aut quattuor syllabis, tamquam: (Verg. *Aen.* IV 1)

> at regina gravi saucia cura,

(cf. Verg. *Aen.* III 1)

> postquam res Asiae vertere gentem;

si tamen in versu novissimos duos pedes integri sensus invenies, quod raro contingit.

Atil. Fortvn. GL VI 285. 2 sqq. dimetrum (*scil.* dactylicum) acatalectum, in quo clausula est hexametri: (Hor. *carm.* I 2. 4)

> terruit urbem;

hoc et choriambicum est.

Diom. GL I 506. 18 sqq. de dimetro (*scil.* dactylico). dimeter [est] ex inferiore parte hexametri, qui habet dactylum et spondeum vel trochaeum. huius exemplum est in Horatio tale: (*carm.* I 2. 4)

> terruit urbem;

quale illud est: (Verg. *Aen.* I 1)

> primus ab oris.

Diom. GL I 516. 4 sqq. dimetrum et illud quod est ex inferiore parte hexametri Archilochus auxit praeposita una syllaba, immo duabus quae pro una sunt et semipedem faciunt, et est tale:

> nova munera divum

hic tolle semipedem, et erit: (Val. Fl. VII 226)

> munera divum.

hoc simile est illi: (Hor. *carm.* I 2. 4)

> terruit urbem,

de quo dictum.

Diom. GL I 521. 4 sqq. decima ode tetracolos sapphicum metrum hendecasyllabum habet et per quaternos versus scanditur et habet tres similes, ex quibus unus constat ex duobus choriambis et bacchio sic: (Hor. *carm.* I 10. 1)

Mercuri fa,cunde nepos, Atlantis.

in hunc modum sunt sequentes duo. versu quarto recipit strophen heroicen telicen dimetron sic, dactylus, spondeus: (Hor. *carm.* I 10. 4)

more pa,laestrae.

Mall. Theod. GL VI 592. 10 sqq. metrum dactylicum <dimetrum,> quo saepe est usa Sappho, constat ex dactylo et spondio sive trochaeo. huius exemplum: (Verg. *Aen.* I 6)

unde Latinum
post genus ortum
altaque magnae

(Verg. *Aen.* I 7)

moenia Romae.

– ◡ ◡ – ◡ ◡ – ◡ ◡ – ◡ ◡ ||

**4.** Schol. in Aristoph. *eq.* 328a (p. 82. 18 sq. Jones–Wilson) vet (ad vv. 328-329) ἐν εἰσθέσει κῶλα β΄ δακτυλικὰ δίμετρα, ἀκατάληκτον τὸ α΄, τὸ δὲ β΄ καταληκτικόν.

Schol. rec. anon. in Aristoph. *nub.* 275a (p. 256 Koster) τὸ γ΄ δακτυλικὸν δίμετρον· τὸ δ΄ ὅμοιον ... τὸ ιβ΄ δακτυλικὸν δίμετρον· τὸ ιγ΄ ὅμοιον. [*S.D.B.*]